# ETA SIGMA PHI 76th Annual Greek Translation Contest (2025)
## Koine Greek

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

Alcibiades as a child showed traits that would characterize his later life.

1 τὸ δ᾽ ἦθος αὐτοῦ πολλὰς μὲν ὕστερον ἀνομοιότητας πρὸς αὐτὸ καὶ μεταβολὰς ἐπεδείξατο. φύσει δὲ πολλῶν ὄντων καὶ μεγάλων παθῶν ἐν αὐτῷ, τὸ φιλόνεικον ἰσχυρότατον ἦν καὶ τὸ φιλόπρωτον, ὡς δῆλόν ἐστι τοῖς παιδικοῖς ἀπομνημονεύμασιν.

2 ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος, ὑπὲρ τοῦ μὴ πεσεῖν ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα τοῦ πιεζοῦντος, οἷος ἦν διαφαγεῖν τὰς χεῖρας. ἀφέντος δὲ τὴν λαβὴν ἐκείνου καὶ εἰπόντος· ‘δάκνεις, ὦ Ἀλκιβιάδη, καθάπερ αἱ γυναῖκες,’ ‘οὐκ ἔγωγε,’ εἶπεν, ‘ἀλλ᾽ ὡς οἱ λέοντες.’

3 ἔτι δὲ μικρὸς ὢν ἔπαιζεν ἀστραγάλοις ἐν τῷ στενωπῷ, τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτὸν ἅμαξα φορτίων ἐπῄει.

4 πρῶτον μὲν οὖν ἐκέλευε περιμεῖναι τὸν ἄγοντα τὸ ζεῦγος· ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης· μὴ πειθομένου δὲ δι᾽ ἀγροικίαν, ἀλλ᾽ ἐπάγοντος, οἱ μὲν ἄλλοι παῖδες διέσχον, ὁ δ᾽ Ἀλκιβιάδης καταβαλὼν ἐπὶ στόμα πρὸ τοῦ ζεύγους καὶ παρατείνας ἑαυτόν, ἐκέλευεν οὕτως, εἰ βούλεται, διεξελθεῖν, ὥστε τὸν μὲν ἄνθρωπον ἀνακροῦσαι τὸ ζεῦγος ὀπίσω δείσαντα, τοὺς δ᾽ ἰδόντας ἐκπλαγῆναι καὶ μετὰ βοῆς συνδραμεῖν πρὸς αὐτόν.

1 ἦθος disposition, character
ἀνομοιότης dissimilarity
ἐπιδείκνυμι exhibit, display, show
φύσει by nature
πάθος passion
φιλόνεικος fond of strife
φιλόπρωτος fond of being first
ἀπομνημόνευμα memorial, record

2 παλαίω wrestle
πιέζω press tight
ἀνάγω bring up, lift
ἅμματα the wrestler’s arms
ἀφίημι let go, release
δάκνω bite

3 ἀστράγαλοι knucklebones, dice
στενωπός narrow street
βολή throw of dice
καθήκω come
ἅμαξα cart
φόρτιος freight
περιμένω halt, wait, stop
ζεῦγος team, yoke of animals
πάροδος path, route

4 ἀγροκία boorishness
ἐπάγω continue on
διέχω scatter, separate
παρατείνω stretch out along
διεξέρχομαι proceed on
ἀνακρούω pull
ὀπίσω back
δείδω fear
ἐκπλάσσω amaze, astound
συντρέχω run together